# TEZAUR LITURGIC

## 25 IANUARIE

GHEORGHIOS GALANOPOULOS

# ACATISTUL
# SF.IERARH
# GRIGORIE I TEOLOGUL,
# ARHIEPISCOPUL CONSTANTINOPOLULUI

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ ΧΑΙΡΕΤΙΣΜΩΝ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΝ ΤΟΝ ΘΕΟΛΟΓΟΝ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

**Ποίημα Γεώργιος Γαλανόπουλος**

Ἄγγελοι ἐν τῷ πόλῳ, σὺν Ἁγίοις σκιρτῶσι, καὶ γῆθεν τῶν βροτῶν αἱ χορεῖαι *(γ΄)*, ἀεὶ γὰρ Ἱεράρχα, σὴν μορφὴν ἀτενίζοντες, τὸν ἀσπασμὸν δίδομεν, τῷ θάμβει ἐξιστάμενοι, λειψάνοις τε πιστῶς βοῶντες·
Χαῖρε, δι᾽ οὗ χαρὰ ἀνατέλει·
χαῖρε, δι᾽ οὗ τοὺς πιστοὺς φωτίζει.
Χαῖρε, πεπτωκότων βροτῶν ἡ ἀνόρθωσις·
χαῖρε, ἀθυμούντων ψυχῶν ἡ παράκλησις.
Χαῖρε, λείψανον πανίερον, βλῦζον χάριν μυστικήν·
χαῖρε, σκεῦος ἱερώτατον, θαυμαστὸν καὶ ἐν ζωῇ.
Χαῖρε, ὅ,τι αὐλίζη τοῖς χοροῖς τῶν Ἁγίων·
χαῖρε, ὅ,τι λατρεύεις τῇ Τριάδι ἀπαύστως.
Χαῖρε, ἀστὴρ λαβὼν φῶς τρισήλιον·
χαῖρε, φωστὴρ λαμπρύνων τὰ πέρατα.
Χαῖρε, δι᾽ οὗ κατηυφράνθη ἡ κτίσις·
χαῖρε, δι᾽ οὗ ἐδοξάσθη ὁ Κτίστης.
Χαῖρε, Πάτερ Γρηγόριε.

Βλέπουσα Ὀρθοδόξων, ἡ πληθὺς Θεολόγε, μορφήν σου ἐν εἰκόνι βοᾷ σοι· τὰ παράδοξά σου θαυμαστά,

ἐμφανέστατα νῦν ἀληθῶς δείκνυνται, διὸ τῷ γόνυ κλίνουσα, ἀσπαζομένη πίστει σοὶ κραυγάζει· Ἀλληλούϊα.

Γνῶσιν θύραθεν Πάτερ, ἐκ νεότητος ἔγνως, σοφίας δὲ Θεοῦ ἐμυήθης, ὅθεν πᾶσαν λιπὼν τρυφήν, πλοῦτον καὶ ἡδέα τῆς ζωῆς, ὄπισθεν Χριστοῦ τοῖς ἴχνεσιν ἠκολούθησας, ἡμεῖς δὲ σοὶ βοῶμεν ταῦτα·

Χαῖρε, Τριάδος ἀῤῥήτων μύστης·
χαῖρε, προσευχῆς ἔνθερμος πίστις.
Χαῖρε, τῶν θαυμάτων Χριστοῦ ῥοῦς ἀείζωος·
χαῖρε, τῶν χαρίτων πηγὴ ἡ ἀείῤῥοος.
Χαῖρε, κλίμαξ ἄνω φέρουσα, τοὺς πιστοὺς πρὸς οὐρανόν·
χαῖρε, πρέσβυς εὐμενέστατος, αἰτημάτων πρὸς Χριστόν.
Χαῖρε, ὁ Ἀσωμάτοις ὁμιλῶν θείοις νόοις·
χαῖρε, ὁ πολεμίους φυγαδεύσας ἐκ ποίμνης.
Χαῖρε, φαιδρὸν πιστῶν ἀγαλλίαμα·
χαῖρε, σεμνὸν ποιμένος ὑπόδειγμα.
Χαῖρε, σοφὲ Ἱεράρχα Κυρίου·
χαῖρε, Θεοῦ μυστηπόλε δογμάτων.
Χαῖρε, Πάτερ Γρηγόριε.

Δύναμιν οὐρανόθεν, ἐξαπέστειλε θείαν, πρὸς φώτισιν σοῦ ὁ Παντεπόπτης, καὶ νοῦν εὔγνωστον εὗρεν σοφέ, εἰς ὃν Πνεῦμα ᾤκησε, διὸ πρόεδρον τῆς Βασιλευούσης ἐξελέξαντο, Χριστῷ ᾄδοντες οὕτως·

Ἀλληλούϊα.

Ἔχων ἔνδον τὸν πόθον, τοῖς δακρύοις καρδίαν, ἐκάθηρας διὰ μετανοίας, καὶ νοῦν σου Πάτερ φωτίσας Θεός, ταῖς ἀρεταῖς ψυχήν σου ἐγεώργησας, καὶ πρόβατα καλῶς τὰ λογικὰ ἐποίμανας, διὸ σοὶ μέλπω·
Χαῖρε, φυτοῦ ἀμαράντου ῥίζα·
χαῖρε, πιατῶν ἀγλαόκαρπον δένδρον.
Χαῖρε, ἀρετῶν τὸ δοχεῖον τοῦ Πνεύματος·
χαῖρε, εὐσεβῶν ὁ θειότατος ἔπαινος.
Χαῖρε, οἴκημα ἀλλότριον, κατοικίας πειρασμῶν·
χαῖρε, δαίμοσιν ὀλέθριος, πονηρῶν ἐπηρειῶν.
Χαῖρε, ὅ,τι προχέεις ἰαμάτων τὰ ῥείθρα·
χαῖρε, ὅ,τι βαστάζεις Ἐκκλησίας τὰ ῥεῖθρα.
Χαῖρε, δεκτὸν πρεσβείας θυμίαμα·
χαῖρε, ἐχθροῦ τοῦ πλάνου ἐξίλασμα.
Χαῖρε, Θεοῦ πρὸς ἡμᾶς σωτηρία·
χαῖρε, ἡμῶν πρὸς Θεὸν μεσιτεία.
Χαῖρε, Πάτερ Γρηγόριε.

Ζάλην Πάτερ κυμάτων, λογισμῶν ψυχοφθόρων, κοπάζεις τῇ θερμῇ προσευχῇ σου, τὰ ἀκάθαρτα πνεύματα ἐλαύνεις, καὶ αἱρετικοὶ κατησχυμμένοι φεύγουσι, καὶ ποίμνην σου καθοδηγεῖς εἰς σωτηρίαν, ἐκβοῶσαν·
Ἀλληλούϊα.

Ἤκουσε Κωνσταντίνου, πόλεως λαὸς φήμην, καὶ εἶδέ σου σεμνὴν πολιτείαν, ὅθεν θρόνῳ κενῷ ἀξίως, ποιμενάρχην μάκαρ ἐχειροτόνησεν, ὀρθαῖς διδασκαλίαις, καταρδεύων τοὺς πιστῶς, σοὶ βοῶντας·
Χαῖρε, Ναζιανζοῦ λαμπρὸς γόνος·
χαῖρε, Καππαδόκων θεῖον κλέος.
Χαῖρε, ἀλοτρίων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, τῶν πιστῶν τὸ καλὸν βουλευτήριον.
Χαῖρε, ὅ,τι τὰ οὐράνια συναγάλλονται τῇ γῇ·
χαῖρε, ὅ,τι τὰ περίγεια, ἀρετάς σου ἐξυμνεῖ.
Χαῖρε, τῶν Ὀρθοδόξων τὸ ἀσίγητον στόμα·
χαῖρε, Ἀρχιερέων ἀνυπέρβλητον θάῤῥος.
Χαῖρε, στεῤῥὸν τῆς πίστεως ἔρεισμα·
χαῖρε, λαμπρὸν ἀγάπης παράδειγμα.
Χαῖρε, δι’ οὗ κατεβέσθησαν μύθοι·
χαῖρε, δι’ οὗ ὁ σατὰν ἐπατήθη.
Χαῖρε, Πάτερ Γρηγόριε.

Θαυματόβρυτος ὤφθης, πανσεβάσμιε Πάτερ, κανὼν ἀκριβοῦς πίστεως θεῖος, ὅθεν θαύμασι πλείστοις λκαός, παρὰ σοῦ ἰάθη ἀληθῶς ζῶντός σου, ἀλλὰ καὶ μετὰ κοίμησιν, ὠφέλησας πιστοὺς βοῶντας·
Ἀλληλούϊα.

Ἴδον χάριν θεόθεν, τὴν δοθεῖσάν σοι Πάτερ, διδάσκοντα ὀρθῶς καὶ βιοῦντα, ὡς ποιμένα γὰρ ὁρῶντες πιστόν, σοῦ ἀκούειν ἔσπευδε λαός, ᾄσμασι

καὶ ὕμνοις εὐχαρίστοις, Χριστῷ μέλπων τῷ Ἀγαθοδότῃ·
Χαῖρε, τοῦ γένους Ῥωμαίων δόξα·
χαῖρε, λαοῦ τῆς Ἑλλάδος κέρας.
Χαῖρε, ψευδωνύμων ἀπίστων ὁ ἔλεγχος·
χαῖρε, τῆς Τριάδος ὁ ἔνθεος ἔπαινος.
Χαῖρε, μέλλοντα φονευτήν σου συγχωρήσας διδαχῇ·
χαῖρε, δαίμονας ἀφανίσας ἐπικλήσει θεϊκῇ.
Χαῖρε, στίφη βαρβάρων, ἀποτρέψας ἐκ ποίμνης·
χαῖρε, πλήθη ἀθέων, ἐπιστρέψας ἐκ πλάνης.
Χαῖρε, Θεοῦ ἀλήθεια ἔνθερμος·
χαῖρε, εἰκὼν πραότητος ἔνθεος.
Χαῖρε, ἀνὴρ ἀρετῆς σωφροσύνης·
χαῖρε, βυθὸς τῆς ἐλεημοσύνης.
Χαῖρε, Πάτερ Γρηγόριε.

Κήρυκες θαυμασίων, γεγονότων ὑπῆρξαν, παντάπασι πιστοὶ ἐν τῇ Πόλει, ἐκδιδάσκοντός σου ταπεινῶς, καὶ κηρύττοντος θερμῶς Χριστὸν Ἅγιε, ἀφῆκαν κακοδόξων τὰς αἱρέσεις, καὶ τὴν πλάνην ᾄδοντές σοι·
Ἀλληλούϊα.

Λάμψας Βασιλευούσης, εὐκλεοῦς Ἐκκλησίας, ἀπῆλθες πρὸς τὴν ἄνω πατρίδαν, ὁ γὰρ Θεὸς ἔνδοξε, σὲ θαυμαστὸν λειψάνοις ἔδειξεν, ὃν γῇ ἐδόξασας, τοῖς

ἄθλοις ἐναρέτουθ βιοτῆς σου, χάριν δεδωκώς, διό σοι ᾄδω·
Χαῖρε, ἀνύψωσις εὐσεβούντων·
χαῖρε, ὁ ἰατρὸς τῶν νοσύντων.
Χαῖρε, Ἐκκλησίας ἀστὴρ τηλαυγέστατος·
χαῖρε, Ὀρθοδόξων φωστὴρ ἀξιάγαστος.
Χαῖρε, θάλασσα βυθίζουσα, πειρασμοὺς τοὺς πονηρούς·
χαῖρε, λείψανα ἐκβλύζοντα, χάριν πᾶσι τοῖς πιστοῖς.
Χαῖρε, πύρινε στῦλε, προσευχῶν τῶν Ἑλλήνων·
χαῖρε, σκέπη λαοῦ σου, κοινωνὲ τῶν Ὁσίων.
Χαῖρε, τροφὴ πεινώντων ἀδάπανος·
χαῖρε, τρυφῆς εὐώδη Παράδεισος.
Χαῖρε, πιστῶν ὁδηγὲ ἀληθείας·
χαῖρε, ἐξ οὗ ῥεῖθρα χέονται θεῖα.
Χαῖρε, Πάτερ Γρηγόριε.

Μέλλοντος τὸ σὸν σῶμα, ἐκ τῆς γῆς ἀνατέλειν, σημεῖα θαυμασίων ἐτέλει, ἐκ λαγόων οὖν τῆς γῆς ἐξελθόν, εἰς τὸν θεῖον Οἶκον Ἀποστόλων τέθηκαν, ὧν διάδοχος γὰρ ἦσθα, ἔτι ζῶν θεοῤῥῆμον, διὸ σοὶ προσάδω·
Ἀλληλούϊα.

Ναῦς εὔπλοος ἐδείχθης, Ἐκκλησίας τρισμάκαρ, πρὸς εὔδιον ὁδηγήσας λιμένα, καὶ νῦν τοῖς λειψάνοις σου σοφέ, μεταδίως πᾶσι τοῖς πιστοῖς θείας χάριτας, πρὸς ὅρμον ἄγων γαληνόν, τοὺς κράζοντάς σοι·

Χαῖρε, τὸ στέφος τῆς ἀφθαρσίας·
χαῖρε, ὁ φάρος τῆς ἐγκρατείας.
Χαῖρε, ἀντιλήπτωρ ἁπάντων ὁ εὔπορος·
χαῖρε, ποντοπόρων τὸ πλοῖον τὸ εὔπλοον.
Χαῖρε, σκῆνος θαυματόβρυτον, ἐξ οὗ σῴζονται πιστοί·
χαῖρε, Οἶκος ἁγιώτατος, πρὸς ὃν σπεύδουσι λαοί.
Χαῖρε, τῶν μοναζόντων ὁδηγὸς καὶ προστάτης·
χαῖρε, Γένους Ἑλλήνων, πρὸς Θεὸν παραστάτης.
Χαῖρε, Κριτοῦ δικαίου δυσώπησις·
χαῖρε, ἁμαρτωλῶν θεία συγχώρησις.
Χαῖρε, στολὴ ἀρετῆς παρθενίας·
χαῖρε, στοργὴ ποθητοῦ Παραδείσου.
Χαῖρε, Πάτερ Γρηγόριε.

Ξένον ῥῆμα ἠκούσθη, ἐκ χειλῶν σου Πάτερ, καθάπερ ἀστραπὴ ἐν αἰθρίᾳ, διὸ τρόμῳ ἔφυγον οἱ αἱρετικοί, τῆς Βασιλευούσης θρηνωδῶς ἔχοντες, θυμίαμα μεθ’ ὕμνων δέ, Θεῷ πιστοὶ προσέφερον, Αὐτῷ βοῶντες·
Ἀλληλούϊα.

Ὀσμῆς θείων ἀνθέων, ὁ ἀὴρ ἐμεθύσθη, ἀῤῥήτου εὐωδίας ὡς μῦρα, σοῦ λειψάνου ἀνακομιδῆς, γενομένης ἱερῶς πανσεβάσμιε, ᾧ χάριτος Τριάδος σκηνωσάσης, ἣν λαβόντες ἐν μεθέξει κράζομέν σοι οὕτως·
Χαῖρε, Θεοῦ μυσστηρίων πύλη·

χαῖρε, σεμνὴ τῆς νηστείας στήλη.
Χαῖρε, κακοτρόπων δριμύτατος ἔλεγχος·
χαῖρε, τοῦ λαοῦ ὁ ποιμὴν ὁ θεόσοφος.
Χαῖρε, ὄχημα πανάγιον, ὁδηγοῦν πρὸς οὐρανόν·
χαῖρε, οἴκημα τοῦ Πνεύματος, καύχημα τῶν εὐσεβῶν.
Χαῖρε, ἀδικουμένους νουνεχῶς ἐνισχύσας·
χαῖρε, παρανομίας δικαστῶν ἀπελέγξας.
Χαῖρε, δι᾽ οὗ ἀλλόπιστοι φρίττουσι·
χαῖρε, δι᾽ οὗ φωτὸς ἐλαμπρύνθημεν.
Χαῖρε, πιστὲ τοῦ Χριστῦ ἱεράρχα·
χαῖρε, στεῤῥὲ ἀγρυπνίας ἐργάτα.
Χαῖρε, Πάτερ Γρηγόριε.

Πᾶσιν χάριν δωρεῖται, σῶν λειψάνων ἡ θήκη, κἀμῖν ἐπιδαψίλευσον Πάτερ, τοὺς τιμῶντας σὴν μνήμην ἱερῶς, εὐλογίας δώροις ἀγαθοῖς βράβευσον, ᾠδάς τε θείας προσφέροντας, ἁγίασον νῦν, πιστῶς βοῶντας·
Ἀλληλούϊα.

Ῥεύματα ἀθεΐας, τῶν ἀνέμων κοπάσας, τὴν πίστιν καθ᾽ ἡμέραν κηρύττεις, καὶ φωτίσας τὰ σκότη σοφέ, πλανωμένων ποίμνης ὁδηγεῖς πρόβατα, νομὰς πρὸς σωτηρίους ἱερώτατε, τῶν σοὶ λεγόντων·
Χαῖρε, Σοφίας Θεοῦ δοχεῖον·
χαῖρε, χαρίτων Αὐτοῦ ταμεῖον.
Χαῖρε, ἀθεΐας ἀμφίστομος μάχαιρα·
χαῖρε, κακοδόξων ὀξύτατον φάσγανον.

Χαῖρε, ὅ,τι κατησχύνθησαν Ἀπολλιναριανοί·
χαῖρε, ὅ,τι κατηυφράνθη σοι, Πόλις ἡ ἱστορική.
Χαῖρε ἀρχιερέων ἐγκαλλώπισμα θεῖον·
χαῖρε, ὁ τῆς Ἑλλάδος ταχινὸς ἀντιλήπτωρ.
Χαῖρε, φωτὸς Ἡλίου ἀπαύγασμα·
χαῖρε, πιστοῦ λαοῦ σου διάσωσμα.
Χαῖρε, ὁδὸς τῆς Χριστοῦ σωτηρίας·
χαῖρε, λιμὴν οὐρανῶν Βασιλείας.
Χαῖρε, Πάτερ Γρηγόριε.

Σώματα λείψανά σου, καθορῶντες νῦν Πάτερ, εἰκόναν τε σεπτήν, θείῳ δόμῳ ἐν χαρᾷ καὶ πίστει, εὐλαβῶς ἀσπαζόμεθα, καὶ τιμὴν δίδωμεν, ἀντίδος οὖν τὰ κρείττονα, τοῖς μέλπουσί σε ὕμνοις, οὕτως·
Ἀλληλούϊα.

Τεῖχος εἶ Ὀρθοδόξων, ὦ Γρηγόριε μάκαρ, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων, ὁ γὰρ Δημιουργὸς ἀληθῶς, καθηγιασέ σε θαυμαστῶς ἔνδοξε, δοὺς χάριν τοῖς λειψάνοις σου, δι’ ἧς ἡμᾶς σοὶ φωνεῖν φωτίζεις·
Χαῖρε, ὁ στῦλος τῆς εὐσπλαγχνίας·
χαῖρε, ὁ φίλος τῆς ἀγρυπνίας.
Χαῖρε, ὁδηγὸς μοναστῶν καὶ διδάσκαλος·
χαῖρε, πλοηγὸς βροτῶν, ἔνσαρκος Ἄγγελος.
Χαῖρε, σὺ γὰρ ἠλευθέρωσας, ἐκ τοῦ θανάτου τοὺς πιστούς·
χαῖρε, σὺ γὰρ ἐθαυμάστωσας, τοὺς προσκυνοῦντας τὸν Χριστόν.

Χαῖρε, ὁ διαλύσας τῶν δαιμόνων ἐνέδρας·
χαῖρε, Μακεδονίου καταργήσας τὰς πλάνας.
Χαῖρε, κλεινὸν Πατέρων ἀγλάϊσμα·
χαῖρε, πιστῶν φαιδρὸν ἐγκαλλώπισμα.
Χαῖρε, ταχὺς ἀρωγός τε καὶ ῥύστης·
χαῖρε, θερμὸς πρὸς Δεσπότην μεσίτης.
Χαῖρε, Πάτερ Γρηγόριε.

Ὕμνους Πάτερ προσδέχου, ἐν ναῷ τῆς Καρβάλης, εἰς ὃν κεῖται λειψάνων σου θήκη, καὶ μερίδες ὀστέων ἀλλαχοῦ εὑρισκόμεναι, ἁγιασμὸν δίδουσι, πλουσίαν χάριν ἄῤῥητον, εἰρήνην καὶ τὰ κρείττῳ, τοῖς βοῶσιν· Ἀλληλούϊα.

Φωτοπάρχον αἴγλην, ἀναδέχει Τριάδος, ἧς μάκαρ ἐφωτίσθης ἐνθεώς, ἐν σοὶ γὰρ ἄϋλον ᾤκησε Φῶς, ὁδηγοῦν πρὸς γνῶσιν τοῦ Θεοῦ ἄριστον, διὸ κἀμεῖς κηρύττομεν, Χριστοῦ τὰ μεγαλεῖα λέγειν·
Χαῖρε, πιστῶν ἀκαθαίρετος πύργος·
χαῖρε, ἡμῶν ῥωμαλέον σφρῖγος.
Χαῖρε, εὐσεβῶν ταῖς ψυχαῖς λάμπων πάντοτε·
χαῖρε, τῶν Χριστιανῶν τὸ στήριγμα πάντιμε.
Χαῖρε, ὅ,τι ἀῤῥωστήματα, θεραπεύεις ἀληθῶς·
χαῖρε, ὅτι ψυχοτραύματα, ἐπουλώνεις θαυμαστῶς.
Χαῖρε, τῶν δεομένων βοηθὸς καὶ προστάτης·
χαῖρε, μετανοούντων χαρωπὸς παραστάτης.
Χαῖρε, φωστὴρ πυρσεύων τὰ πέρατα·
χαῖρε, Πατὴρ αὐγάζων τὰ σύμπαντα.

Χαῖρε, Φωτὸς τοῦ Χριστοῦ θεῖος φάρος·
χαῖρε, λαοῦ ἀκατάβλητον θάῤῥος.
Χαῖρε, Πάτερ Γρηγόριε.

Χάριν δίδου θαυμάτων, Ἱεράρχα τοῖς πᾶσι, τιμῶσι τῶν λειψάνων σου θήκην, ζῆλον ἔνθερμον τῶν ἀρετῶν, καρποὺς πνευματικοὺς εὐποιεῖν πάντοτε, προθύμους πρὸς μετάνοιαν, καλὴν τ’ ἀπολογίαν ψάλλειν·
Ἀλληλούϊα.

Ψάλλοντες θεῖα μέλη, εὐφημοῦμέν σε Πάτερ, φιλέορτοι πιστοὶ ὀρθοδόξως, διὸ τῷ σῷ δραμόντες ναῷ, κατανύξει γόνυ εὐλαβῶς κλίνομεν, αἰτήματά τε προσφέρομεν, ἃ πρόσδεξαι εὐμενῶς ᾄδειν·
Χαῖρε, στολὴ εὐπρεπείας θεία·
χαῖρε, ἁπάντων Ἁγίων φίλος.
Χαῖρε, κιβωτὲ καὶ ναὲ ἁγιάσματος·
χαῖρε, θησαυρὲ καὶ κρουνὲ θείας χάριτος.
Χαῖρε, ἄρχουσι κραταίωμα, σωτηρίαν εὐσεβῶν·
χαῖρε, καύχημα σεβάσμιον, ἱερέων εὐλαβῶν.
Χαῖρε, τῆς Ἐκκλησίας τὸ ἀσύλητον γέρας·
χαῖρε, τῶν Ὀρθοδόξων τὸ παμπόθητον κέρας.
Χαῖρε, δι’ οὗ ηὐγάσθη ἡ σύμπασα·
χαῖρε, δι’ οὗ ηὐφράνθη γενέτειρα.
Χαῖρε, πιστῶν οἰκουμένης ὅρπηξ·
χαῖρε, ψυχῶν σωτηρίας φύλαξ.
Χαῖρε, Πάτερ Γρηγόριε.

Ὢ τρισόλβιε Πάτερ, Ἱεράρχα Κυρίου, Ἁγίων ἐπουράνιε μύστα (γ΄), ἀνταπόδος, τοῖς τῆνδε τὴν ᾠδὴν σοὶ προσφέρουσι, θείαν σωτηρίαν, καὶ φρικτῆς ῥῦσαι ἅπαντας κολάσεως, τοὺς συμβοῶντας·
Ἀλληλούϊα.

